www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΝΕΑΣ ΚΡΗΝΗΣ ΚΑΙ ΚΑΛΑΜΑΡΙΑΣ

# Ἀκολουθία

τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος

# Εὐγενίου

τοῦ Τραπεζουντίου
καί τῶν σύν αὐτῷ

21ην Ἰανουαρίου

*Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει*
*ὑπό*
*Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου*
*Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας*

Ἐκδίδεται Προνοίᾳ
τοῦ Σεβασμιωτάτου Μητροπολίτου Νέας Κρήνης καί Καλαμαριᾶς
κυρίου Προκοπίου.

ΚΑΛΑΜΑΡΙΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ 1979

www.tezaurliturgic.ro



Ὁ Ἅγιος Εὐγένιος ὁ Τραπεζούντιος.
Σύγχρονη φορητὴ εἰκόνα.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Παμμάκαρ Εὐγένιε φωτί, ἀρετῶν λαμπόμενος, μαρτυρικῶς ἠνδραγάθησας, καί καταβέβληκας, τήν εἰδώλων πλάνην, σταθερᾷ ἐνστάσει σου· διό σε ὁ Χριστός ἀντημείψατο, πλουσίαις χάρισιν· ὅν ἱκέτευε δεόμεθα, ὑπέρ πάντων, τῶν ἀνευφημούντων σε.

Παμμάκαρ Εὐγένιε βλαστός, Τραπεζοῦντος ἔνδοξος, καί ἱερόν ἐγκαλλώπισμα, ἀθλήσας πέφηνας· ὅθεν σου τήν μνήμην, πάντες Τραπεζούντιοι, τήν θείαν ἐκτελοῦντες βοῶμέν σοι· Ἀπαύστως πρέσβευε, δωρηθῆναι τοῖς τιμῶσί σε, συμπολίταις, χάριν θείαν ἄνωθεν.

Τετράς Ἀθλητῶν πανευκλεῶν, Ἅγιε Εὐγένιε, Ἀκύλα καί Οὐαλέριε, θεόφρον Κάνδιδε, οἱ ἐν Τραπεζοῦντι, ἀνδρικῶς ἀθλήσαντες, καί αἵμασιν ὑμῶν πορφυρώσαντες, χθόνα τήν πάτριον, μή ἐλλίπητε πρεσβεύοντες, δωρηθῆναι, ἡμῖν θεῖον ἔλεος

Προσόμοια ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς τό πῦρ τό οὐράνιον, ἐν καρδίᾳ δεξάμενος, γεηρόν ἠνάλωσας ἅπαν φρόνημα, καί εὐσεβείας διδάσκαλος, καί θεῖον ὑπόδειγμα, ἐναρέτου ἀγωγῆς, ἐχρημάτισας Ἅγιε, καί διήνυσας, μαρτυρίου τούς ἄθλους θείῳ πόθῳ, κρατυνόμενος Κυρίου, Μεγαλομάρτυς Εὐγένιε.

www.tezaurliturgic.ro



Καί ξεσμοῖς δαπανώμενος, καί λαμπάσι φλεγόμενος, καί πληγαῖς καί μάστιξιν ἀλγυνόμενος, οὐκ ἐσαλεύθης τό σύνολον, τῆς κρείττονος στάσεως, ἀλλ' ἀνδρείως τόν Χριστόν, ὡμολόγησας ἔνδοξε, καί ἡγίασας, τῆς πατρίδος τήν γῆν τῇ σῇ ἀθλήσει· διά τοῦτο κατά χρέος, ὑμνολογεῖ σε Εὐγένιε.

Ανυμνείσθω Εὐγένιος, Τραπεζοῦντος τό καύχημα, καί μεσίτης μέγιστος πρός τόν Κύριον, καί Σολωχαίνης τό βλάστημα, ὁ Ἅγιος Κάνδιμος, καί Οὐαλεριανός, τῆς Ἐδίσκης ἀγλάϊσμα, καί Ἀκύλας δέ, τῆς Γοδαίνης τό ἄνθος τό εὐῶδες, συντιμάσθωσαν ἀξίως, οἷάπερ σύναθλοι Μάρτυρες.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ὥσπερ ἄστρα νοητά, τετράς ἁγίων Ἀθλητῶν ἐκλάμπουσιν, ὧν ἐν μέσῳ ἀνέχει, ὡς ἑωσφόρος φαεινός, ὁ μέγας Εὐγένιος, καί πρός ἑόρτιον αἴνεσιν, ἡμᾶς συγκαλοῦσι· τοῦ γάρ Ἡλίου τῆς ζωῆς, τό φῶς προφαίνουσι, καί τῷ φωτί τῶν θείων ἐντολῶν κατευθύνουσι, τούς βοῶντας αὐτοῖς· χαίροις μαρτυρική χορεία, οἱ ἐν μιᾷ γνώμῃ ἀθλήσαντες, καί οἰκείοις μέλεσι, τόν Χριστόν δοξάσαντες· χαίροις στῖφος τετράριθμον, οἱ μυριάριθμον πληθύν, αἰσθητῶν καί ἀοράτων ἐχθρῶν τροπωσάμενοι, εὐσεβείας ὅπλοις· χαίροις Τραπεζοῦντος ἀγλάϊσμα, καί θεῖος πολιοῦχος, Εὐγένιε ἔνδοξε, καί γέρας καί διάδημα. Σύν τοῖς συνάθλοις σου πρέσβευε, διδόναι ἡμῖν τό θεῖον ἔλεος.

Καί νῦν. Ὁ αὐτός.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε, τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

www.tezaurliturgic.ro



Εἴσοδος, φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.

(Κεφ. μγ΄ 9)

Τάδε λέγει Κύριος· πάντα τά ἔθνη συνήχθησαν ἅμα, καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τά ἀρχῆς, τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν, καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς Κύριος ὁ Θεός, καί ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καί πιστεύσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καί μετ' ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα, καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες, καί ἐγώ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος Ποιήσω, καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1)

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. ε΄ 15)

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

## Εἰς τήν Λιτήν Ἰδιόμελα.

Ἦχος α΄.

Ἠγάλλετο πάλαι, ἡ σέ βλαστήσασα Τραπεζοῦς, ἁγιαζομένη τῇ χάριτι, τῇ προϊούσῃ ἐκ τοῦ ναοῦ σου, Μεγαλομάρτυς Εὐγένιε· νῦν δέ ἡμεῖς, οἱ σοί συμπολῖται, τῇ σῇ ἀθλήσει καυχώμενοι, τήν ἁγίαν μνήμην σου, χρεωστικῶς ἑορτάζομεν. Ἀλλ᾽ ὡς θεῖος ἡμῶν προστάτης, καί πρός Χριστόν πρεσβευτής θερμότατος, μή παύσῃ παρέχων ἡμῖν, τά πρός σωτηρίαν αἰτήματα, σύν τοῖς συνάθλοις δεόμενος, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ἦχος β'.

Ζήλῳ θείῳ πυρπολούμενος, ὡς ὁ Θεσβίτης Ἠλιού, τῆς ἀπωλείας τά ξόανα, πίστει θερμοτάτῃ, συνέτριψας Εὐγένιε· στηλογράφημα δέ ἔμπνουν, εὐσεβείας καί πίστεως, εὐγενέσι τρόποις, ἐν Τραπεζοῦντι σ' αὐτόν παρέστησας· λόγῳ γάρ θείῳ, καί βίῳ καταλλήλῳ, τῆς ἀληθείας τό κράτος, πᾶσιν ὑπέδειξας· καί μαρτυρίου ὑπελθών τό σκάμμα, ὡς ἀδάμας στερρός, σκληροτάτας αἰκίαις ὡμίλησας, καί ἀπ' οὐρανοῦ ἐδέξω τό στέφος· διό τήν ἁγίαν σου, γεραίρομεν ἄθλησιν.

Ἦχος γ'.

Οἱ Ἀθλοφόροι τοῦ Χριστοῦ, καί στρατιῶται εὐσθενεῖς, Εὐγένιος ὁ μέγας, καί Οὐαλεριανός σύν Ἀκύλᾳ καί Κανδίδῳ, μαρτυρικοῖς ᾄσμασι συμφώνως γεραιρέσθωσαν· συμφωνίᾳ γάρ ψυχῆς, τόν μέγαν τῆς ἀθλήσεως ἀγῶνα, ἐν Τραπεζοῦντι διήθλησαν· καί σιδήρου καί πυρός, ἐν τῷ ἐνδυναμοῦντι Χριστῷ, ὑπέρτεροι γενόμενοι, ὑπερτέρας εὐκλείας, καί ἀθανάτων ἐπάθλων, καί ἀϊδίων στεφάνων, παρά Θεοῦ ἀξίως ἠξιώθησαν, πρεσβεύοντες ἀεί, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Ἀκαταπλήκτῳ ψυχῇ, τόν ὑπέρ Χριστοῦ ἀναδεξάμενος ἀγῶνα, εὐτόλμως ἐβόας τῷ διώκτῃ, θεόφρον Εὐγένιε· Οὐδέν με χωρίσει τῆς ἀγάπης Χριστοῦ, οὐ βασάνων ἀπειλαί, οὐ μελῶν ἐκτομαί, οὐ ζωή οὐδέ θάνατος. Καί πάντων κατατολμήσας, καρτερόψυχε Μάρτυς, τῆς οὐρανίου ἐπέβης δόξης, καί τῷ ξύλῳ τῆς ζωῆς, σύν τοῖς συνάθλοις ἀποκατέστης· μεθ' ὧν πρέσβευε δεόμεθα, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Τόν ἐν Μάρτυσι περίδοξον, Τραπεζουντίων τό μέγα

www.tezaurliturgic.ro



κλέος, Εὐγένιον τόν εὐκλεῆ τοῦ Χριστοῦ ἀριστέα, μαρτυρικοῖς ἐπαίνοις καταστρέψωμεν· ἐν ἀθλήσει γάρ μέγα τρόπαιον ἀνεστήσατο, ἐν τῇ ἄνωθεν ροπῇ· καί σαρκός φθειρομένης μή φεισάμενος, σιδήρου καί πυρός ἀκμαιότερος ὤφθη σύν τοῖς συμμάρτυσιν αὐτοῦ· καί ἐν πᾶσι νικητής γεγονώς, ταῖς οὐρανίαις τάξεσι, μετά τῶν συνάθλων συνήφθη, μεθ' ὧν καί πρεσβεύει, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, Τραπεζουντίων τό περίβλεπτον καύχημα, Εὐγένιε Ἀθλοφόρε, ὁ τάς δυνάμεις ἐχθροῦ, συμμαχίᾳ θείᾳ τροπωσάμενος· ὁ πᾶσαν ἐπίγειον, καταλείψας ἀπόλαυσιν, καί τῷ Δεσπότῃ, εὐσεβῶς στρατευσάμενος, διά πίστεως, καί ἐνθέου φρονήματος· ὅθεν νομίμως ἤθλησας, βασάνων δριμύτητα, καθάπερ πάσχοντος ἄλλου, ὑπεριδών θείῳ ἔρωτι. Καί νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στιχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ζήλῳ τῷ θεϊκῷ πυρσωθείς, Μεγαλομάρτυς Ἀθλοφόρε Εὐγένιε, τῆς ἄνωθεν εὐγενείας, τούς χαρακτῆρας ἐν σοί, ἐμορφώσω βίου καθαρότητι· ἐντεῦθεν κατέαξας, ἀπωλείας ἱδρύματα, καί μαρτυρίου, πρός ἀγῶνας ἐχώρησας, δυναμούμενος, ἀγαπήσει τοῦ Κτίσαντος. Ὅθεν ὡς ἀριστεύσαντα, λαμπρῶς ἐν τῷ σκάμματι, ὁ ἀθλοθέτης σε Λόγος, σύν τοῖς συνάθλοις ἐδόξασε· μεθ' ὧν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

www.tezaurliturgic.ro



Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίροις τῶν Ἀθλητῶν ἡ τετράς, οἱ τῶν Ἀγγέλων κοινωνοί καί συμμέτοχοι· οἱ πάντων Τραπεζουντίων, πρός τόν Χριστόν πρεσβευταί, καί θερμοί προστάται καί ὑπέρμαχοι, Εὐγένιε ἔνδοξε, καί Ἀκύλα καί Κάνδιδε, σύν τῷ ἐνθέῳ, Οὐαλεριανῷ ὁμοῦ, οἱ ἰσόψυχοι, ἐν ἀγῶσι καί χάριτι· γνώμῃ μιᾷ γάρ Ἅγιοι, ἀνδρείως ἠθλήσατε, καί Τραπεζοῦντος τήν χθόνα, ῥείθροις αἱμάτων ἠρδεύσατε, ἐξ ὧν ἡμῖν βλύζει, εὐφροσύνη εὐρωστία, καί θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Ἐν ἀνδρείᾳ ψυχῆς, πρός τόν ἀγῶνα τῆς ἀθλήσεως, ἐμφρόνως ἀπεδύσω, Ἀθλοφόρε Εὐγένιε· τά γάρ ὅπλα τοῦ φωτός, πιστῶς περιζωσάμενος, τοῦ σκότους καθεῖλες τόν ἄρχοντα, καί ἐν ἄθλοις ἱεροῖς ἠρίστευσας· διό κροτοῦντες τούς ἀγῶνας σου, Οὐαλεριανόν καί Κάνδιδον, καί Ἀκύλαν σύν σοί τιμῶμεν, ὡς κοινωνούς σοι τοῦ σκάμματος· μεθ' ὧν πρέσβευε Ἅγιε, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις,

τό τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τραπεζοῦντος τόν γόνον καί θερμόν ἀντιλήπτορα, καί τοῦ πάντων Δεσπότου στρατιώτην περίδοξον, Εὐγένιον τόν μέγαν Ἀθλητήν, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί· ἀπό πάσης γάρ λυτροῦται ἐπιφορᾶς, τούς πίστει ἀνακράζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ, πᾶσιν ἰάματα.

www.tezaurliturgic.ro



Ἕτερον τῶν τεσσάρων κοινόν.
Ἦχος δ'. Ταχύ προκατάλαβε.

Τετράστιχον ὅμιλον, τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, Εὐγένιον μέλψωμεν, σύν τῷ Οὐαλεριανῷ, Ἀκύλαν καί Κανδιδον· οὗτοι γάρ ἐν τῇ πόλει Τραπεζοῦντος νομίμως, ἤθλησαν καί τήν πλάνην, τῶν εἰδώλων καθεῖλον· Καί νῦν καθικετεύουσιν, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Τό ἀπ' αἰῶνος ἀπόκρυφον...

---

πάντων τῶν ἐκ Τραπεζοῦντος καί Πόντου
καταγομένων, τῶν Προεδρευσάντων [illegible] καί
Μελῶν τῶν Ποντιακῶν Σωματείων καί Ὁμοσπονδιῶν
Ὑπέρ τῶν μακαρίων καί ἀοιδίμων βασιλέων
Τραπεζοῦντος, Μεγάλων Κομνηνῶν
Χρυσάνθου Ἀρχιερέως καί πάντων τῶν
ἀρχιερατευσάντων, ἱερατευσάντων καί διακο-
νησάντων ἐν Τραπεζοῦντι καί παντί
τῷ Πόντῳ καί πάντων τῶν [illegible] κεκοιμη-
μένων Ποντίων, ἁπανταχοῦ εὐσεβῶς
κειμένων.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Ὡς ἄστρον φαεινόν, ἐν χορῷ τῶν Μαρτύρων, Εὐγένιε σοφέ, μυστικῶς διαλάμπεις, τήν πλάνην τήν καχέσπερον, διαλύσας τοῖς ἄθλοις σου. Ὅθεν σήμερον, Τραπεζουντίων οἱ δῆμοι, ἑορτάζομεν, τήν φωτοφόρον σου μνήμην, Χριστόν μεγαλύνοντες.

Θεοτοκίον.

Τεκοῦσα ἐν σαρκί, τόν Ὑπέρθεον Λόγον, ἐθέωσας Ἁγνή, τῶν βροτῶν τήν οὐσίαν· διό περ τόν ἀπόρρητον, πίστει σέβοντες τόκον σου, μεγαλύνομεν, τά παμφαῆ μεγαλεῖα, τῶν χαρίτων σου, καί τῶν πολλῶν θαυμασίων, Παρθένε Πανύμνητε.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Δεσμούς τούς τοῦ σώματος, καί τῶν μαστίγων πληγάς, πυρός τήν κατάφλεξιν, καί κεφαλῆς τήν τομήν, ἐνέγκας στερρότατα, ᾔσχυνας τοῦ Βελίαρ, τό μαινόμενον θράσος, λύχνος δέ εὐσεβείας, τῇ πατρίδι σου ὤφθης, Εὐγένιε θεόφρον, Τραπεζουντίων καύχημα.

Θεοτοκίον.

Θεόν σωματώσασα, δίχα τροπῆς καί φυρμοῦ, καί ἄφθορος μείνασα, μετά λοχείαν φρικτήν, Παρθένε Πανά-

www.tezaurliturgic.ro



χραντε, ἔλυσας τῆς κατάρας, τήν φθοράν τῷ σῷ τόκῳ, ρεῖθρα δέ ἀφθαρσίας, τοῖς βοῶσι πηγάζεις· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετά σοῦ.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τόν τοῦ Σωτῆρος εὐκλεῆ στρατιώτην, καί Τραπεζοῦντος τόν λαμπρόν πολιοῦχον, τόν θαυμαστόν Εὐγένιον ὑμνήσωμεν, σύν αὐτῷ γεραίροντες, Κάνδιδον καί Ἀκύλαν, Οὐαλεριανόν ὁμοῦ, ὡς ἀθλήσαντας ἅμα, καί τῶν αἱμάτων ρείθροις ἱεροῖς, Τραπεζουντίων τήν γῆν πορφυρώσαντας.

Θεοτοκίον.

Μετά σαρκός τόν Ὑπερούσιον Λόγον, προαγαγοῦσα ἐξ ἁγνῶν σου αἱμάτων, ὑπερφυῶς Παρθένε ὑπέρ ἔννοιαν, σωτηρίας πρόξενος, τοῖς ἀνθρώποις ἐδείχθης, εὐσπλαχνίας ἄβυσσον, βλύσασα τοῖς ἐν κόσμῳ· διό συμφώνως ἄπαυστον ᾠδήν, οἱ διά σοῦ, σεσωσμένοι σοί ᾄδομεν.

Τό α' ἀντίφωνον τοῦ δ' ἤχου καί τό Προκείμενον.

Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Εὐαγγέλιον κατά Λουκᾶν.

Ζήτει αὐτό ἐν τῷ ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν'. Δόξα. Ταῖς των Ἀθλοφόρων...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...

Μαρτυρικῶς ἀγωνισάμενος, τῆς εὐσεβείας τό μέγα μυστήριον, οἰκείοις πόνοις ἐτράνωσας; Ἀθλητά Εὐγενιε· καί συνεργούς ἐν τῷ βίῳ, καί συνάθλους ἐν τῷ σκάμματι, Οὐαλεριανόν καί Ἀκύλαν, σύν Κανδίδῳ ἔχων, ὁμοφρόνως ἠγωνίσασθε, κατά τῶν ἀντιπάλων. Καί νῦν τῆς ἄνω

www.tezaurliturgic.ro



δόξης τρυφῶντες, τῇ Ἁγίᾳ Τριάδι πρεσβεύσατε, σωθῆναι τά ψυχάς ἡμῶν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καί τῶν Ἁγίων, φέρων τήνδε ἀκροστιχίδα.

«Εὐγενίῳ καί συνάθλοις αἶνος. Γερασίμου».

Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Εὐγένιον Δέσποτα, καί τούς σύν τούτῳ ἀθλήσαντας, ὑμνῆσαι προθέμενος, καθικετεύω σε, λόγον δίδου μοι, αὐτῶν ταῖς ἱκεσίαις, καί μέλψω γηθόμενος, τούτων τήν ἄθλησιν.

Ὑπέρτερον ἔσχηκας, ἀπό νεότητος φρόνημα, Εὐγένιε ἔνδοξε, ἐν εὐγενείᾳ ψυχῆς· ὅθεν σύμμορφος, Χριστοῦ τῶν παθημάτων, ἀθλήσεως σκάμμασι, γέγονας Ἅγιε.

Γενναίως ἀθλήσαντες, ἀγάπῃ θείᾳ πτερούμενοι, ὁ μέγας Εὐγένιος, Ἀκύλας, Κάνδιδος, Οὐαλεριανός, ἐν πόλει Τραπεζοῦντος, αὐτῆς ὄντως ὤφθησαν, θεῖα στηρίγματα.

Θεοτοκίον.

Ἐκ μήτρας σου ἔλαμψε, δικαιοσύνης ὁ Ἥλιος, σαρκός ὁμοιώματι, δι᾽ ἀγαθότητα, καί κατηύγασε, θεογνωσίας αἴγλῃ, Παρθένε Πανύμνητε, κόσμου τά πέρατα.

Ὠδή γ΄. Τούς σούς ὑμνολόγους.

Ναμάτων Εὐγένιε ἀΰλων, πλησθείς πολιτείᾳ καθαρᾷ, ζωῆς πηγάζεις ῥήματα, ἐν Τραπεζοῦντι Ἅγιε, ὡς εὐσεβείας ὄργανον, καί Ἀποστόλων ὁμόζηλος.

www.tezaurliturgic.ro



Ἰσχύϊ ρωννύμενος τῇ θείᾳ, παρεῖδες σαρκός τό ἀσθενές, καί ἀκλινῶς εἰσέδραμες, τό σκάμμα τῆς ἀθλήσεως, Εὐγένιε μακάριε, Χριστοῦ κηρύττων τό ὄνομα.

Ὡς θεῖοι ὁπλῖται τοῦ Σωτῆρος, καθείλετε πᾶσαν τοῦ ἐχθροῦ, τήν δύναμιν Εὐγένιε, Ἀκύλα τε καί Κάνδιδε, Οὐαλεριανέ σοφέ, τῇ συμμαχίᾳ τῆς πίστεως.

Θεοτοκίον.

Κατάρας τῆς πάλαι ἐλυτρώθη, τό γένος Παρθένε τῶν βροτῶν, τῇ ὑπέρ κυήσει σου· Θεόν γάρ ἡμῖν τέτοκας, τόν εὐλογίας πέλαγος, τοῖς γηγενέσι πηγάσαντα.

Κάθισμα. Ἦχος πλ.δ' Τήν Σοφίαν καί Λόγον.

Εὐγενίου ἀγῶνας τούς ἱερούς, καί Κανδίδου τό σθένος τό τῆς ψυχῆς, Ἀκύλα τά σκάμματα, ὁμοφώνως τιμήσωμεν, Οὐαλεριανοῦ τε, σύν τούτοις τήν ἄθλησιν, ὑμνήσωμεν συμφώνως, αὐτοῖς ἀνακράζοντες· Μάρτυρες Κυρίου, Τραπεζοῦντος ἡ δόξα, Ἀγγέλων συμμέτοχοι, καί πιστῶν ἀντιλήπτορες, καί προστάται θερμότατοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς τήν σεπτήν ὑμῶν μνήμην, φαιδρῶς ἑορτάζουσι.

Θεοτοκίον.

Ἡ τόν πάντων Δεσπότην καί Ποιητήν, Θεοτόκε τεκοῦσα σωματικῶς, καί κόσμῳ πηγάσασα, ἀφθαρσίας τά νάματα, ὡς σωτηρίου κρήνη, καί βρύσις χρηστότητος, καί ποταμός εἰρήνης, Παρθένε Πανύμνητε, σβέσον τῶν παθῶν μου, τήν ἀκάθεκτον φλόγα, καί κάθαρον δέομαι, τήν ρυπῶσαν καρδίαν μου, μετανοίας τοῖς δάκρυσι· σύ γάρ μου προστασία θερμή, καί τῇ σκέπῃ τῇ σῇ μετά πίστεως, καταφεύγω ρυσθῆναι, μανίας τοῦ ὄφεως.

www.tezaurliturgic.ro



Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἀκαθαίρετος ὤν στῦλος, εὐσεβείας Εὐγένιε, καθαιρεῖς τέλος, τῶν εἰδώλων ἄψυχα ξόανα, καί ἀληθείας τόν λόγον διετράνωσας, τοῖς καθεύδουσιν, ἐν πλάνῃ τῆς ματαιότητος.

Ἰησοῦν τόν Ζωοδότην, εὐθαρσῶς ὡμολόγησας, καί καθάπερ ἄλλου, πάσχοντος ὑπέστης Εὐγένιε, τάς ἀνυποίστους στρεβλώσεις ἐν τῷ σώματι, δι' ὧν ἄπονον, εὗρες ζωήν καί ἀΐδιον.

Σύν Ἀκύλᾳ καί Κανδίδῳ, μακαρίσωμεν ἅπαντες, Οὐαλεριανόν τε, τούς Χριστόν τόν μόνον μακάριον, ἐπί ἀπίστων λαμπρῶς ἀνακηρύξαντας, καί πρός ἄφθαρτον, ζωήν καί δόξαν σκηνώσαντας.

Θεοτοκίον.

Ὑπέρ φύσιν ὑπέρ λόγον, ὑπέρ ἅπασαν ἔννοιαν, τέτοκας ἐν εἴδει, Κόρη τῶν ἀνθρώπων τόν ἄναρχον, καί Ὑπερούσιον Λόγον ἐκλυτρούμενον, τούς ὑμνοῦντάς σε, τῆς τοῦ Ἀδάμ κατακρίσεως.

Ὠδὴ ε'. Ἐξέστη τά σύμπαντα.

Ναός θείου Πνεύματος, Εὐγένιε δεικνύμενος, ἐν ναῷ εἰσῆλθες τῶν εἰδώλων, καί προσευχῇ σου πάσας κατέρριψας, στήλας ἐν αὐτῷ τε καί βωμούς, καί τοῖς πᾶσιν ἔδειξας, εὐσεβείας τήν δύναμιν.

Αἰκίαις ὡμίλησας, ὀδυνηραῖς Εὐγένιε, καί ἀναρτηθείς ἐπί τοῦ ξύλου, πλευράς ἐξέσθης σιδηροῖς ὄνυξιν, ἅπαν ἀποβάλλων τῆς φθορᾶς, πάχος καί τήν ἄφθαρτον, στολήν Μάρτυς δεχόμενος.

www.tezaurliturgic.ro



Θυμόν ἀλογώτατον, τυράννων οὐκ ἐπτήξατε, Οὐαλεριανέ τε καί Ἀκύλα, σύν τῷ Κανδίδῳ, ἀλλ' ἀπτοήτῳ ψυχῇ, πᾶσαν τῶν δεινῶν ἐπιφοράν, χαίροντες ἠνέγκατε, καί λαμπρῶς ἐδοξάσθητε.

Θεοτοκίον.

Λυχνία ἑπτάφωτος, τοῦ Παρακλήτου πέφηνας, πλοῦτον χαρισμάτων φωσφοροῦσα, ἡ τετοκυῖα σωματικῶς τοῖς ἐν γῇ, Κόρη τό ἀπαύγασμα Πατρός· ὅθεν κα' μέ Δέσποινα, τῷ φωτί σου καταύγασον.

Ὠδή στ'. Τήν θείαν ταύτην.

Ὄμβροις τῶν θείων αἱμάτων σου, κατήρδευσας τήν χθόνα τήν πάτριον, Μάρτυς Εὐγένιε· ὅθεν ἐν σοί ἐπαγάλλονται, Τραπεζουντίων δῆμοι, ὑμνολογοῦντές σε.

Ἰδού τήν μνήμην σου σήμερον, Εὐγένιε τελοῦμεν γηθόμενοι, οἱ συμπολῖται σου· διό ἡμῖν δίδου πάντοτε, τήν ἀρωγήν σου Μάρτυς, καί τήν βοήθειαν.

Σύστημα ἅγιον ὤφθητε, Οὐαλεριανέ καί Εὐγένιε, Ἀκύλα, Κάνδιδε, ἐν μιᾷ γνώμῃ ἀθλήσαντες, καί ἴσης οὐρανόθεν, τυχόντες χάριτος.

Θεοτοκίον.

Ἀγγέλων ὤφθης Βασίλισσα, Χριστόν τόν βασιλέα κυήσασα, Παρθένε Ἄχραντε· διό ἡμᾶς καταξίωσον, τῆς ἄνω βασιλείας, ταῖς ἱκεσίαις σου.

www.tezaurliturgic.ro



Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τραπεζουντίων εὐσεβῶν αἱ χορεῖαι, τοῦ Ἀθλοφόρου Εὐγενίου τὴν μνήμην, χρεωστικῶς τελέσωμεν γηθόμενοι, καὶ τοὺς μαρτυρήσαντας, σὺν αὐτῷ εὐφημοῦντες· οὗτοι γὰρ παρέχουσιν, ἡμῖν ἄφθονον χάριν, καὶ τῷ Χριστῷ πρεσβεύουσιν ἀεί, πᾶσι δοθῆναι, πταισμάτων συγχώρησιν.

Ὁ Οἶκος.

Ὑπὲρ ἥλιον σήμερον ἔλαμψεν, Εὐγενίου ἡ μνήμη τοῦ Μάρτυρος, καὶ σὺν τούτῳ προβάλλει λαμπρότατα, τοὺς συνάθλους αὐτοῦ καὶ συμμάρτυρας, Οὐαλεριανὸν καὶ Ἀκύλαν καὶ Κάνδιδον, τοὺς ἐν πᾶσιν ὁμογνώμονας· εὐσεβείας γὰρ τὸ μέγα μυστήριον, ἐπὶ ἀπίστων τρανῶς ὡμολόγησαν, μὴ δειλιάσαντες θυμὸν τυραννικόν, καὶ μὴ πτήξαντες ἀλγηδόνων πικρῶν ἐπιφοράς· ἡ γὰρ χάρις τοῦ Χριστοῦ, περιέβαλλεν αὐτούς, ὡς ἀγαπήσαντες θερμῶς, τὴν δόξαν τοῦ Θεοῦ· καὶ ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθέντες ταῖς πολυτρόποις κολάσεσι, καὶ τὴν Τραπεζοῦντα ἀθλητικοῖς καμάτοις ἁγιάσαντες, δόξης οὐρανίου ὁμοῦ ἠξιώθησαν, καὶ τῷ Χριστῷ πρεσβεύουσιν ἀεί, πᾶσι δοθῆναι, πταισμάτων συγχώρησιν.

Συναξάριον.

Τῇ κα' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Εὐγενίου τοῦ ἐκ Τραπεζοῦντος, καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων Ἁγίων Μαρτύρων Οὐαλεριανοῦ, Κανδίδου, ἢ Κανιδίου καὶ Ἀκύλα, ἐν Τραπεζοῦντι ἀθλησάντων.

Στίχ. Τὸν Εὐγένιον καὶ συνάθλους τρεῖς ἅμα
Δι' εὐγένειαν ψυχικὴν κτείνει ξίφος.
Εὐγένιον ἡ δ' ἑτάρους κτάνον φασγάνῳ εἰκάδι πρώτῃ.

www.tezaurliturgic.ro



Οὗτοι ἤθλησαν ἐπί τῆς βασιλείας Διοκλητιανοῦ καί Μαξιμιανοῦ, καί Λυσίου δουκός. Ὁ μέν Εὐγένιος ἦν ἐκ πόλεως Τραπεζοῦντος, διαπρέπων ἐπ' εὐγενείᾳ ἠθῶν, καί χρηστότητι τρόπων, καί Εὐαγγελικοῖς ἔργοις καί λόγῳ τῆς χάριτος· Ἀποστολικῷ γάρ ζήλῳ τήν ἐν Χριστῷ εὐσέβειαν ἐκήρυττε τοῖς ἐν σκότει τῆς πλάνης καθημένοις· ὁ δέ Οὐαλεριανός ἦν ἐξ Ἐδίσκης, καί Κάνδιδος ἤ Κανίδιος ἐκ Σολωχαίνης, καί Ἀκύλας ἐκ Γορδαίνης, χωρῶν τῶν τῆς Χαλδίας, ἐγγύς Τραπεζοῦντος.

Οὗτοι ὁμονοοῦντες εὐσεβῶς ἐν πᾶσιν, ἐν μιᾷ νυκτί, προσευξάμενοι καί τήν ἄνωθεν ἀντίληψιν ἐπικαλεσάμενοι, ἐλθόντες καθεῖλον εἰς γῆν τόν ἐκεῖσε βωμόν καί τό ἐν αὐτῷ ξόανον τοῦ ψευδοῦς θεοῦ Μίθρα, καί ἀπῆλθον τοῖς παρακειμένοις ὄρεσι κρυπτόμενοι. Τοῦτο σφόδρα ἠρέθισε τούς δυσσεβεῖς, οἵτινες ἐπιμελῶς ἀνιχνεύσαντες ἀνεῦρον πρῶτον τόν Οὐαλεριανόν καί Κάνδιδον, διά τοῦ νεανίου Ἀκύλα, προσελθόντος εἶτα, καί κοινωνήσαντος τῶν δεσμῶν τοῖς Ἁγίοις, εἶτα ἐκζητήσαντες, εὗρον καί τόν Εὐγένιον, οὕς καί παρέστησαν τῷ τοῦ Λυσίου βήματι, ὁμολογοῦντας καί κηρύττοντας, διαπρυσίῳ φωνῇ, τόν Σωτῆρα Κύριον, Θεόν εἶναι τῶν ὅλων· ὅς ἐπί τούτῳ ἐκμανείς, βουνεύροις καταξαίνει τάς σάρκας αὐτῶν. Εἶτα ἀναρτήσας, σιδηροῖς ὄνυξι σπαράσσει, καί λαμπάσι πυρός καταφλέγει. Ὡς δέ πρηνεῖς κατέπεσον οἱ αἰκίζοντες αὐτούς δήμιοι, ταραχθείς ὁ Δούξ, φρουρεῖσθαι τούς Ἁγίους, Οὐαλεριανόν, Κάνδιδον καί Ἀκύλαν, προσέταξε.

Μετά δέ τινας ἡμέρας, κρατηθείς καί ὁ Ἅγιος Εὐγένιος (ἀνεύρετος γάρ ἦν ἔτι, τιμωρουμένων τῶν τριῶν Μαρτύρων, ὡς ἔφθην εἰπών), καί τον Χριστόν καί αὐτός ὁμολογήσας, ἐτύφθη ἀνηλεῶς. Ἀπελθών οὖν μετά τοῦ Ἄρχοντος εἰς τόν ναόν τῶν εἰδώλων, καί εὐξάμενος, πεσεῖν ἐποίησε πάντα τά εἴδωλα, καί συντριβῆναι ὡσεί κονιορτόν. Διό καί σχοινίοις διαταθείς, ῥοπάλοις ἁδροῖς τύπτεται. Εἶτα ἀναρτᾶται, καί τάς πλευράς σιδηροῖς ὄνυξιν εὐτόνως ξέεται, καί λαμπάσι πυρός κατακαίεται, ἅλμῃ σύν ὄξῳ δριμυτάτῳ περιαντλούμενος. Εἶτα καμίνῳ κεκαυμένῃ ὁμοῦ πάντας τούς Ἁγίους ἐμβάλλουσιν· ἐξ ἧς ῥυσθέντες, ξίφει τελειοῦνται.

Ταῦτα πάντα ἐγένοντο ἐν Τραπεζοῦντι, ἔνθα τελειωθέντες

www.tezaurliturgic.ro



κατετέθησαν οἱ Ἅγιοι Μάρτυρες, ὁ δέ Ἅγιος Εὐγένιος, κατ' ἐξαίρετον τρόπον, πολιοῦχος ἀναγράφεται καί προστάτης τῆς ἑαυτοῦ πατρίδος.

Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ς΄. Οὐκ ἐλάτρευσαν.

Ἰσχύν ἄμαχον, θεόθεν ἐνδυσάμενος, Μάρτυς Εὐγένιε, καθάπερ αὔραν ζωῆς, τήν φλόγαν ὑπέμεινας, δρόσον τήν κρείττονα, εἰσδεχόμενος, καί τῷ πυρί τῶν ἄθλων σου, καταφλέγεις τήν ἀπάτην.

Νοός ἅπασαν, τήν ἔφεσιν ἀνύψωσας, πρός τά οὐράνια· ἔνθεν ξεσμούς τῆς σαρκός, δεινῶς ἀναρτώμενος, καί καταντλούμενος, πολλαῖς μάστιξιν, ὑπέμεινας Εὐγένιε, καί κατῄσχυνας τόν ὄφιν.

Οἱ περίδοξοι, ὁπλῖται τοῦ Παντάνακτος, ἀνευφημείσθωσαν, Εὐγένιος ὁ κλεινός, Ἀκύλας καί Κάνδιδος, Οὐαλεριανός, οἱ θερμότατοι, Τραπεζουντίων πρόμαχοι, καί παντός πιστοῦ προστάται.

Θεοτοκίον.

Σκεῦος εὔχρηστον, τῆς χάριτος τοῦ Πνεύματος, τόν νοῦν μου ἔργασαι, ἐκ πονηρῶν ἐννοιῶν, αὐτόν ἐκκαθαίρουσα, ρείθροις ἐλέους σου, Ὑπερύμνητε, Εὐλογημένη Δέσποινα, τῶν βροτῶν ἡ σωτηρία.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Γνώσει εὐσεβείας διαλάμπων, ὡς λύχνος ἀειλαμπής ἔργων τῆς πίστεως, Ἀποστόλων ἔνδοξε, ζήλῳ σεμνυ-

www.tezaurliturgic.ro



νόμενος, ἐν Τραπεζοῦντι πέφηνας καί χαίρων ἤθλησας, καί σύμμορφος παθῶν τοῦ Σωτῆρος, καί τῆς βασιλείας, Εὐγένιε ἐγένου.

Ἔστης πρό Δουκός τοῦ ὠμοτάτου, τό ὄνομα τοῦ Χριστοῦ τό ὑπερύμνητον, ἀπτοήτῳ στόματι, καί στερρῷ φρονήματι, ὁμολογῶν Εὐγένιε καί καθυπέμεινας, πολλῶν τιμωριῶν τάς ὀδύνας, ὀδυνῶν ἐξαίρων, τούς σέ ὑμνολογοῦντας.

Ῥείθροις τῶν σεπτῶν ὑμῶν αἱμάτων, τά ῥεῖθρα τῆς δυσσεβείας κατεκλύσατε, Οὐαλεριανέ σοφέ, Ἀκύλα καί Εὐγένιε, καί Κάνδιδε μακάριε· ἔνθεν ἐβλάστησε καρπός ἐν Τραπεζοῦντι τῇ πόλει, τῆς θεογνωσίας, πᾶσαν ψυχήν ἐκτρέφων.

Θεοτοκίον.

Ἄνασσα ἀγγέλων καί ἀνθρώπων, τεκοῦσα τόν Βασιλέα πάσης κτίσεως, ὤφθης Παναμώμητε, Μῆτερ Ἀειπάρθενε· ὅθεν τήν βασιλεύουσαν ἐν ἐμοί νέκρωσον, νεκροῦσαν ἁμαρτίαν τόν νοῦν μου, καί ἐν μετανοίᾳ, ἀξίωσόν με ζῆσαι.

Ὠδή θ'. Ἅπας γηγενής.

Στέφος εὐπρεπές, καί δόξης διάδημα, καί φῶς ἀνέσπερον, Ἅγιε Εὐγένιε, παρά Κυρίου ἀξίως εἴληφας, τελέσας τόν ἀγῶνα σου σύν τοῖς συνάθλοις σου, καί Ἀγγέλων, ὤφθητε συνόμιλοι, αἰωνίου χαρᾶς ἀξιούμενοι.

Ἴσχυσαν ἑλεῖν, ἐν ὕλῃ τήν ἄϋλον Σῶτερ παράταξιν, τήν τοῦ σκότους ἄρχοντος, οἱ φωταυγεῖς σου Μεγα-

www.tezaurliturgic.ro



λομάρτυρες, Εὐγένιος καί Κάνδιδος, Οὐαλεριανός, καί Ἀκύλας, τῷ Σταυρῷ σου Δέσποτα, ὧν λιταῖς τόν λαόν σου διάσωσον.

Μάρτυρες Χριστοῦ, ἀμώμητα σφάγια τοῦ Παντοκράτορος, Ἅγιε Εὐγένιε, καί σύν Κανδίδῳ Οὐαλεριανέ, Ἀκύλα παμμακάριστε κλέος καί στήριγμα, Τραπεζοῦντος, πάσης βλάβης ρύσασθε, τούς ὑμῶν συμπολίτας δεόμεθα.

Ὅμιλε σεπτέ, τετράριθμον σύστημα Ἅγιοι Μάρτυρες, ἔνδοξε Εὐγένιε, καί σύν Ἀκύλᾳ θεόφρον Κάνδιδε, Οὐαλεριανέ κλεινέ τοῦτον τόν ὕμνον μου, ὡς εὐῶδες, δέξασθε θυμίαμα, καί παθῶν δυσωδίας με ρύσασθε.

Θεοτοκίον.

Ὕψιστον Θεόν, ἐν σοί εὐδοκήσαντα σκηνῶσαι Ἄχραντε τέτοκας ὡς ἄνθρωπον, μή τῆς οἰκείας τραπέντα φύσεως, ἐν δύο Κόρη φύσεσιν ἐν ὑποστάσει μιᾷ, ἐκδυσώπει, σῶσαι τάς ψυχάς ἡμῶν, τῶν ὀρθά Θεοτόκον φρονούντων σε.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Τοῖς εὐγενέσι τρόποις σου, τήν ἀπάτην καθεῖλες, Εὐγένιε μακάριε, καί νομίμως ἀθλήσας, μετά τῶν σῶν συμμαρτύρων, σύν αὐτοῖς ἠξίωσαι, ἐπουρανίων ἐπάθλων· μεθ' ὧν πρέσβευε ἀεί, ὑπέρ τῶν χρεωστικῶς, ὑμῶν τελούντων τήν μνήμην.

Θεοτοκίον.

Παρθένε Παναμώμητε, Θεοτόκε Μαρία, Ἀγγέλων ἀγαλλίαμα, καί βροτῶν σωτηρία, μή διαλίπῃς πρεσβεύειν, τῷ ἐκ σοῦ ἐκλάμψαντι, διδόναι ἡμῖν πταισμάτων,

www.tezaurliturgic.ro



ὧνπερ πράττομεν ἀεί, ἄφεσιν καί φωτισμόν, εἰς ἀληθῆ σωτηρίαν.

Εἰς τούς Αἴνους.
Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τραπεζουντίων τά πλήθη πανηγυρίσωμεν, τήν φωτοφόρον μνήμην, τοῦ κλεινοῦ Εὐγενίου· οὗτος γάρ ἀθλήσας ὑπέρ Χριστοῦ, εὐσεβείας τά σπέρματα, ἐν τῇ πατρίδι δυνάμει τῇ θεϊκῇ, ἐγεώργησε καί ηὔξησε.

Τάς πολυτρόπους ἰδέας ὡς ἄλλου πάσχοντος, τιμωριῶν ποικίλων, ὑπομείνας ἀνδρείως, καθεῖλες τῶν εἰδώλων πᾶσαν ἰσχύν, τῇ τοῦ Πνεύματος χάριτι, Μεγαμάρτυς Εὐγένιε καί ζωῆς, ἀϊδίου κατηξίωσαι.

Τόν τετρασύνθετον δῆμον τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, Εὐγένιον τόν μέγαν, καί κλεινόν ἀριστέα, Οὐαλεριανόν τε τόν θαυμαστόν, καί Ἀκύλαν καί Κάνδιδον, τῆς Τραπεζοῦντος φωστῆρας τούς παμφαεῖς, ὁμοφώνως ἀνυμνήσωμεν.

Τῷ Βασιλεῖ τῶν αἰώνων ὡς στρατευσάμενοι, Εὐγένιε παμμάκαρ, μετά τῶν συμμαρτύρων, ἁπάντων τῶν γηΐνων οἷα φθαρτῶν, νουνεχῶς ὑπερήρθητε, καί ἀριστεύσαντες πόνοις ἀθλητικοῖς, ἐπαξίως ἐδοξάσθητε.

Δόξα. Ἦχος πλ. α΄.

Τῷ τῆς πίστεως φωτί, τήν ζωήν λαμπρύνων, μαρτυρικῶν καμάτων στάδιον, μεγαλόφρονι ψυχῇ, ἤνυσας Εὐγένιε· τόν Σωτῆρα γάρ Χριστόν, ὁλικῶς ἀγαπήσας, τούτου τό πάθος ἐδόξασας, ἄθλοις οἰκείοις, σύν Οὐαλεριανῷ

www.tezaurliturgic.ro



καί Κανδίδῳ, καί Ἀκύλᾳ καλῶς ἀγωνισάμενος· τήν πανοπλίαν γάρ τῆς χάριτος, ἐνδεδυμένος θεόφρον, ἐν τῷ καιρῷ τῶν ἀγώνων ἐθαυμαστώθης. Καί νῦν ἀπαύστως πρέσβευε, σύν τοῖς συνάθλοις σου, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καί ἀπόλυσις.

---

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά τυπικά, οἱ Μακαρισμοί, καί ἐκ τοῦ κανόνος τῶν Ἁγίων ἡ γ΄ καί στ΄ ᾠδή. Ἀπόστολον καί Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

. . . . . . . . . . . . . .

Μεγαλυνάριον.

Ἄνθος Τραπεζοῦντος ὤφθης τερπνόν, καί ἐν ταύτῃ Μάρτυς, ἠγωνίσω ἀθλητικῶς, μετά τῶν συνάθλων, Εὐγένιε παμμάκαρ· διό Τραπεζουντίοις, δίδου τήν χάριν σου.

---

Δίστιχον.

Γεράσιμος ὕμνησε τάς Εὐγενίου
καί τῶν συνάθλων εὐκλεεῖς ἀριστείας.

www.tezaurliturgic.ro



Τὸ παρὰ τοῦ Μητροπολιτικοῦ ναοῦ παρεκκλήσιον τοῦ ἁγίου Εὐγενίου τοῦ Τραπεζουντίου.